τή μιν ῥεῖα τέλεσσε Δικασπόλον ἔξοχον ἄλλων
τοῦ μάκαρι πρώην Πατρὶ σύνοικος ἄτε·
εἶτα μιν Εὐρυνόμῃ κυδνῇ δῶκ᾽, ὄφρ᾽ ἑ διδάξῃ
λαόν τ᾽ εὖ διέπειν, ἐνδυκέως τε νέμειν,
ξύμπαντας φιλέειν τε, πατὴρ ὥς, πρόφρονι θυμῷ,
ξυμπάντων τ᾽ ἀλέγειν, ἦρα τε πᾶσι φέρειν.
αὐτὰρ ἐπεί μιν ἅλις κοσμήσαμεν ἰδμοσύνῃφι
μηδοσύνῃφι, δίκῃ, πρήξεσί τ᾽ εὐκλεέσι·
δὴ τότ᾽ ἐγὼν ἀρίδηλον ἄφαρ μετὰ πάντεσι θῆκα,
ἔξοχα δ᾽ Ὀθμανέων αἰπυτίῃσι πύλῃς,
τῇσι τότ᾽ ἀργαλέης μέγα μέμβλετο δηϊοτῆτος,
ἥ σφισι σὺν Ῥούσσοις ὦρορε Τεύτοσί τε.
τηλόθε δ᾽ ἀλλοδαποὶ Μήστωρες ὄφρ᾽ ἦλθον ἀγαυοί,
οἳ σπεῦδον δεινῷ τέρμα θέμεν πτολέμῳ·
βουλαῖς δ᾽ ἐν πυκιναῖς ξυμφράδμονες οἵδ᾽ ἀγέροντο
κλεινοὶ τηλεδαπῶν κ᾽ Ὀθμανέων λογάδες,
πρὶν μὲν Σιστώβῳ Γαίης Μοισῶν ποτ᾽ ἐν ἄστει,
ὕστατα δ᾽ Ἰασίου ἀγλαῇ εἰνὶ πόλει·
τόφρ᾽ ἄρ᾽ ἈΛΕΞΆΝΔΡΟΙΟ δαΐφρονος ἐξεφάανθεν
ἰδρείη γλωσσῶν, ἔμφρονα μήδεά τε.
Ἑρμηνεὺς γὰρ ἄριστος ἐὼν φράδμων θ᾽ ἅμα Μήστωρ
εἰρήνης ξυνῆς κἀρραγέος φιλίης
ἤνυσε συνθεσίας κρατεροῖς τρισὶν ἐν βασιλῆσι
πᾶσιν ἀγακλεέας, πᾶσί τε θυμαρέας.
τῷ ῥά οἱ Ὀθμανέων Βασιλεὺς κρατερός τε μέγας τε
Ἡγεσίῃν Δακέων λαμπρὸν ὄπασσε γέρας·